καλος καὶ γενναῖος οὐ πρὸς τὸ καλὸν οὐδὲ τὴν εὐφυΐαν
ἀλλὰ μορίων διαφορὰς ποιεῖται τοὺς ἔρωτας· καὶ φίλιππος
μὲν ἀνὴρ οὐδὲν ἧττον ἀσπάζεται τοῦ Ποδάργου τὴν
εὐφυΐαν [ἢ] ‘Αἴθης τῆς Ἀγαμεμνονέης’ (Ψ 295), καὶ
θηρατικὸς οὐ τοῖς ἄρρεσι χαίρει μόνον, ἀλλὰ καὶ Κρήσ-
σας τρέφει καὶ Λακαίνας σκύλακας, ὁ δὲ φιλόκαλος καὶ
φιλάνθρωπος οὐχ ὁμαλός ἐστιν οὐδ’ ὅμοιος ἀμφοτέροις
τοῖς γένεσιν, ἀλλ’ ὥσπερ ἱματίων οἰόμενος εἶναι διαφορὰς
B ἐρώτων γυναικῶν καὶ ἀνδρῶν. καίτοι τήν γ’ ὥραν ‘ἄν-
θος ἀρετῆς’ εἶναι λέγουσι (St. V. Fr. III 718), μὴ φάναι
δ’ ἀνθεῖν τὸ θῆλυ μηδὲ ποιεῖν ἔμφασιν εὐφυΐας πρὸς ἀρε-
τὴν ἄτοπόν ἐστι· καὶ γὰρ Αἰσχύλος ὀρθῶς ἐποίησε (fr. 243)

‘νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων
ὀφθαλμός, ἥτις ἀνδρὸς ᾖ γεγευμένη.’

πότερον οὖν ἰταμοῦ μὲν ἤθους καὶ ἀκολάστου καὶ διεφθορότος σημεῖα τοῖς εἴδεσι τῶν γυναικῶν ἐπιτρέχει, κοσμίου δὲ καὶ σώφρονος οὐδὲν ἔπεστι τῇ μορφῇ φέγγος, ⟨ἢ⟩ πολλὰ μὲν ἔπεστι καὶ συνεπιφαίνεται, κινεῖ δ’ οὐθὲν οὐδὲ προσκαλεῖται τὸν ἔρωτα; οὐδέτερον γὰρ εὔλογον οὐδ’ ἀληθές.’

C ‘Ἀλλὰ κοινῶς ὥσπερ δέδεικται τοῖς γένεσι πάντων
ὑπαρχόντων, ὥσπερ κοινοῦ συστάντος ⟨αὐτοῖς τοῦ ἀγω-